A μιμερές. τὸ τέταρτον καὶ τὸ πέμπτον τῷ πρώτῳ ὅμοια. τὸ ἕκτον τρίμετρον ἐκ διιάμβου χοριαμβικοῦ καὶ βακχείου, τὸ ἕβδομον δακτυλικὸν τετράμετρον. τὸ ὄγδοον δακτυλικὸν πεντάμετρον. τὸ ἔνατον δίμετρον. ἐξ ἐπιτρίτου τρίτου καὶ χοριάμβου. τὸ δέκατον ὅμοιον ἐκ διισπονδείου καὶ χοριάμβου. ἢ δακτυλικὸν ἑφθημιμερὲς τῆς σι ἀντὶ μακρᾶς λογιζομένης. τὸ ἑνδέκατον ἀντισπαστικὸν δίμετρον ἀκατάληκτον τὸ καλούμενον Γλυκώνειον ἐκ διτροχαίου καὶ διιάμβου ὡς ἔχει τὸ Γλύκωνος. κάπρος ἡνίχ' ὁ μαινόλης Κύπριδος θάλλος ὤλεσε. τὸ δυοκαιδέκατον ἀντισπαστικὸν δίμετρον καταληκτικὸν τὸ καλούμενον Φερεκράτειον ἑφθημιμερές. ἐξ ἐπιτρίτου τετάρτου καὶ βακχείου ὡς ἔχει τὸ Φερεκράτους. Ἄνδρες πρόσχετε τὸν νοῦν Ἐξευρήματι καινῷ. συμπτύκτοις ἀναπαίστοις. καλεῖται δὲ ταῦτα πολυσχημάτιστα διὰ τὸ διάφορα δέχεσθαι μέτρα. ἐπὶ τῷ τέλει παράγραφος, καὶ διπλῆ ἔσω νενευκυῖα δηλοῦσα ἔχειν ἀνταπόδοσιν. ἄλλως τὸν Δία ἐπικαλοῦνται ὃν οἱ φιλόσοφοι εἶναι οὐκ ἔφασκον ἀλλὰ ταύτας εἶναι τὸ πᾶν διεβεβαιοῦντο. εἰκότως οὖν καὶ διὰ τούτων σκώπτει τοὺς φιλοσόφους. ὃν γὰρ εἶναι οὐκ ἐδόξαζον, αἱ νομιζόμεναι ὑπ' αὐτῶν νεφέλαι τοῦτον ἐπικαλοῦνται.

B

Τόν τε μεγαθενῆ τριαί-
νης ταμίαν, γῆς τε καὶ ἁλ-
μυρᾶς θαλάσσης ἄγριον μοχλευτήν.
Καὶ μεγαλώνυμον ἡμέτερον πατέ-
ρ' Αἰθέρα σεμνότατον βιοθρέμμονα πάντων.
C Τόν θ' ἱππονώμαν ὃς ὑπέρ-
λαμπρεῖς ἀκτῖσιν κατέχει
Γῆς πέδον, μέγας ἐν θεοῖς
Ἐν θνητοῖσί τε δαίμων.

*Et validum tridente Deum,*
*Qui pelagus salsipotens,*
*Grauísque terræ vada cæca quassat,*
*Eximiúmque patrem celeberrimi*
*Nominis æthera, vitæ hominum omniparentẽ:*
*Illúmque equorum domito-*
*Rem, qui humum illustrat radiis:*
*Ipse magnus apud Deos,*
*Numen terricolísque.*

Σχόλια. Τόν τε μεγαθενῆ.] ὅτι ἔθος τοῖς ποιηταῖς ἀπὸ Διὸς ἄρχεσθαι. μετὰ δὲ τὸν Ποσειδῶνα ὑμνεῖν. καὶ αὐτὸς δὲ τὴν Ὁμηρικὴν τάξιν τῆς ἡλικίας δηλοῖ.

Bisetus. Τριαίνης ταμίαν] περίφρασις τοῦ Ποσειδῶνος. Αἰσχύλος ἐν Προμηθεῖ δεσμώτῃ,

Θαλασσίαν δὲ γῆς τινάκτειραν νόσον
Τρίαιναν, αἰχμὴν τὴν Ποσειδῶνος σκεδᾷ.

D μοχλευτὴν δὲ λέγει, ὅτι καὶ σεισίχθων, καὶ ἐνοσίχθων, καὶ ἐννοσίγαιος ὁ αὐτὸς καλεῖται, παρὰ τὸ ἐνόθειν, τὸ σείειν, καὶ κινεῖν τὴν γῆν.

Σχόλια. Γῆς τε καὶ ἁλμυρᾶς.] δοκεῖ γὰρ Ποσειδῶν, οὐ τὴν θάλασσαν κινεῖν μόνον, ἀλλὰ καὶ τὴν γῆν. ἔχει δὲ καὶ κοινωνίαν πρὸς αὐτὰς ὡς δεσπόζων ὑγρᾶς οὐσίας. εἰκότως οὖν τῶν θεῶν τούτων ἐμνημόνευσε. τοῦ μὲν Διός, ὅτι τῆς ἀρχῆς. τοῦ δὲ Ποσειδῶνος ὅτι τῶν ὑγρῶν δεσπότης. Ἀέρος δὲ, ὅτι πατὴρ, Ἡλίου δὲ, ἐπεὶ διάπυρος ὢν, τὴν ἰκμάδα ἀνασπώμενον ἐργάζεται νεφέλην. Αἰθέρα.] ἀντὶ τοῦ ἀέρα. ὁ γὰρ αἰθὴρ διακαὴς ὤν, ἀνέφελός ἐστι. καὶ ἐκ τοῦ βιοθρέμμονος δῆλον ὅτι ἀὴρ οὐχὶ αἰθήρ. ἢ ἐπειδὴ τὰ ζῷα ἐν τῷ ἀέρι ἔχει τὴν ζωήν. βιοθρέμμονα δὲ, ἐπειδὴ ἀρδεύει τὴν γῆν. Τόν θ' ἱππονώμαν,] τὸν ἥλιον τὸν ἐλαύνοντα καὶ νωμῶντα τὸ ἅρμα καὶ τοὺς ἵππους ἡνιοχοῦντα. ἐξ αὐτοῦ δὲ δοκοῦσι συνεστάναι. διάπυρος γὰρ ὤν, ἕλκει εἰς ἑαυτὸν τὴν τῆς θαλάσσης ὑγρότητα. ἐξ ἧς αἱ νεφέλαι.

E

## ΕΠΙΡΡΗΜΑ ΣΤΙΧΩΝ κ.

Τροχαϊκοὶ τετράμετροι Καταληκτικοί.

Χο. Ὦ σοφώτατοι θεαταί, δεῦρο τὸν νοῦν προσέχετε.
Ἠδικημέναι γάρ, ὑμῖν μεμφόμεσθ' ἐναντίον.
Πλεῖστα γὰρ θεῶν ἁπάντων ὠφελούσαις τὴν πόλιν,
Δαιμόνων ἡμῖν μόναις οὐ θύετ' οὐδὲ σπένδετε,
F Αἵ τινες τηροῦμεν ὑμᾶς. ἢν γάρ ᾖ τις ἔξοδος
Μηδενὶ ξὺν νῷ, τότ' ἢ βροντῶμεν ἢ ψεκάζομεν.
Εἶτα τὸν θεοῖσιν ἐχθρὸν βυρσοδέψην Παφλαγόνα
Ἡνίχ' ᾑρεῖσθε στρατηγόν, τὰς ὀφρῦς συνήγομεν,

## Additamentum.

*Trochaici Octonarij Catalectici.*

*O Sapientissimi Spectatores, huc aduertite,*
*Quoniam affectæ iniuriâ, contra vos heic querimoniam*
*Instituimus: nam cùm nos præ cæteris Diis omnibus,*
*Vrbem hanc plurimùm locupletemus: vos nobis ex Deis*
*Solis, neque sacrificatis, neque libatis: quæ plurimùm*
*Conseruamus vos. Nam si quando comitiorum exitus*
*Non sit commodus, tum aut tonamus, aut pluuiam damus.*
*Equidem Dijs infestum Paphlagona illum coriarium,*
*Quando exercitus ducem creastis, nos supercilia*

G

Σχόλια. Ὦ σοφώτατοι θεαταί.] τοῦτο ἐπίρρημα ὀνομάζεται, διὰ τὸ ἐπιρρέπειν αὖθις τὸν χορὸν πρὸς τοὺς θεατάς. καὶ χρηστά τινα συμβουλεύειν αὐτοῖς. ἢ σκώπτειν τοὺς πονηρούς. ἔστι δὲ ἐκ στίχων τροχαϊκῶν τετραμέτρων καταληκτικῶν ὧν τελευταῖος. ἐπὶ τὸ βέλτιον τὸ πρᾶγμα τῇ πόλει συνοίσεται. ἐπὶ τῷ τέλει διπλῆ ἔσω νενευκυῖα, δηλοῦσα ἔχειν ἀνταπόδοσιν.

Μηδενὶ ξὺν νῷ.] σὺν μηδεμιᾷ κρίσει. μετ' οὐδενὸς νοῦ. ἀλλ' ἀσυμφόρως καὶ ἀκαίρως μετὰ μηδενὸς λογισμοῦ. οἷον προπετῶς. ἐκ τῶν πρώτων δὲ Νεφελῶν ἐστι ταῦτα. τεθνεὼς γὰρ ἦν νῦν ὁ Κλέων. Τὰς ὀφρῦς συνήγομεν.] συνέφειαν ἐποιήσαμεν. καὶ ἐχαλεπαίνομεν. ἢ ἐσυγνάσαμεν. ἄλλως. ἐπεὶ ὁ Κλέων τοιοῦτος. εἴρηται δὲ ἀνωτέρω ὅτι πάντας μιμοῦνται.